ὅπλον πρὸς ἁπάντων ἀμυντήριον ἐχθρῶν· οἰκείας δὲ φυλακτήριον σωτηρίας ἰσχύει· ᾧ δὴ πε
φραγμένος ὁ θεοφιλέστατος ἡμῶν βασιλεύς, τὰς τοῦ δυσωνύμου πολυπλόκους ἐ
πιβουλὰς διεδίδρασκεν· ὁ δὲ τὴν λαθραίαν σκευωρίαν ὡς οὐδαμῶς ἑώρα κατὰ
γνώμην αὐτῷ χωροῦσαν, τοῦ θεοῦ πάντα δόλον τε καὶ ῥᾳδιουργίαν, τῷ θεοφιλεῖ βασιλεῖ
καταφωρῶντος, οὐκέθ᾿ οἷός τε ὢν ἐπικρύπτεσθαι, προφανῆ πόλεμον ἀναι
ρεῖται· ὁμόσε δῆτα Κωνσταντίνῳ πολεμεῖν διεγνωκώς, ἤδη καὶ κατὰ τοῦ θεοῦ, ὃν ᾔδει σεβόμε
νον αὐτός, παρατάττεσθαι ὥρμητο· κᾆτ᾿ ἐπεὶ τοὺς ὑπ᾿ αὐτὸν θεο
σεβεῖς, μηδὲν μηδ᾿ ὅλως πώποτε τὴν ἀρχὴν αὐτοῦ λυπηρὸν διαθεμένους, ἠρέμα
τέως καὶ ἡσυχῇ, πολιορκεῖν ἐπεβάλλετο· καὶ τοῦτ᾿ ἔπραττε δεινῶς ἀμβλυωπεῖν ὑπὸ
τῆς ἐμφύτου κακίας ἠναγκασμένος. οὔτ᾿ οὖν τὴν μνήμην τῶν πρὸ αὐτοῦ χριστιανοὺς
ἐκδιωξάντων πρὸ ὀφθαλμῶν ἔθετο, οὔθ᾿ ὧν αὐτὸς ὀλετὴρ καὶ τιμωρὸς δι᾿ ἃς με
τῆλθον ἀσεβείας κατέστη· ἀλλὰ γὰρ τοῦ σώφρονος ἐκτραπεὶς λογισμοῦ,
διαρρήδην δὲ μανεὶς τὰς φρένας, τὸν θεὸν αὐτόν, οἷα δὴ Κωνσταντίνου βοηθὸν
ἀντὶ τοῦ βοηθουμένου πολεμεῖν ἐγνώκει· καὶ πρῶτα μέν, τὸν οἶκον τὸν αὐτοῦ
πάντα χριστιανὸν ἀπελαύνει· ἔρημον αὐτὸς αὑτὸν ὁ δείλαιος τῆς τούτων
καθιστὰς ὑπὲρ αὐτοῦ πρὸς τὸν θεὸν εὐχῆς· ἣν ὑπὲρ ἁπάντων αὐτοῖς ποιεῖσθαι
πάτριον μάθημα τυγχάνει· εἶτα δὲ τοὺς κατὰ πόλιν στρατιώτας ἐκκρίνεσθαι
καὶ ἀποβάλλεσθαι τοῦ τῆς τιμῆς ἀξιώματος, εἰ μὴ τοῖς δαίμοσι θύειν αἱροῖντο προστά
ττει· καὶ ἔτι γε ταῦτα ἦν μικρά, τῇ τῶν μειζόνων συγκρινόμενα παραθέσει·
τί δεῖ τούτων τὰ καθ᾿ ἕκαστα καὶ κατὰ μέρος τῷ θεομισεῖ πεπραγμένα μνημονεύειν·
ὅπως τε νόμους ἀνόμους ὁ παρανομώτατος ἐξεῦρε· τοὺς γέ τοι ἐν ταῖς εἱρκταῖς
ταλαιπωρουμένους, ἐνομοθέτει μηδένα μεταδόσει τροφῆς φιλανθρω
πεύεσθαι· μηδὲ ἐλεεῖν τοὺς ἐν δεσμοῖς λιμῷ διαφθειρομένους· μηδ᾿ ἁπλῶς ἀγαθὸν
εἶναι μηδένα μηδ᾿ ἀγαθόν τι πράττειν, τοὺς καὶ πρὸς αὐτῆς τῆς φύσεως, ἐπὶ
τὸ συμπαθὲς τῶν πέλας ἑλκομένους· καὶ ἦν γε νόμος οὗτος ἄντικρυς ἀ
ναιδὴς καὶ ἀπηνέστατος πᾶσαν ἥμερον ὑπερεξάγων φύσιν· ἐφ᾿ ᾧ καὶ τιμω
ρία προσέκειτο, τοὺς ἐλεοῦντας τὰ ἴσα πάσχειν τοῖς ἐλεουμένοις· δεσμοῖς τε καὶ φυλακαῖς
καθειργνύσθαι τὴν ἴσην τοῖς καταπονουμένοις ὑπομένοντας τιμωρίαν,
τοὺς τὰ φιλάνθρωπα διακονουμένους· τοιαῦται αἱ Λικιννίου διατάξεις· τί χρὴ τὰς
περὶ γάμων καινοτομίας ἀπαριθμεῖσθαι· ἢ τὰς ἐπὶ τοῖς τὸν βίον μεταλ
λάττουσι νεωτερισμοὺς αὐτοῦ· δι᾿ ὧν τοὺς παλαιοὺς Ῥωμαίων εὖ καὶ σοφῶς
κειμένους νόμους περιγράψαι τολμήσας, βαρβάρους τινὰς καὶ ἀνημέρους ἀν
τεισηγεῖτο· νόμους ἀνόμους ὡς ἀληθῶς καὶ παρανόμους· ἐπισκήψεις τε
μυρίας κατὰ τῶν ὑποχειρίων ἐθνῶν ἐπενόει· χρυσοῦ τε καὶ ἀργύρου παντοίας εἰσπράξεις